# «Παρεμβαίνοντες...»

## Εὐχή, λεγομένη μετὰ τὴν ἀπόλυσιν τῆς Ἀκολουθίας, διὰ τὰς ἐν τῷ μεταξὺ τῆς δοξολογίας συμβαινούσας παρατροπὰς τοῦ νοὸς




«Φιλάνθρωπε καὶ Ἐλεῆμον Κύριε, ὁ ἀξιώσας με καὶ κατὰ τὴν παροῦσαν ὥραν στῆναι ἐνώπιόν Σου εἰς προσευχὴν καὶ δοξολογίαν τοῦ κράτους Σου· συγχώρησόν μοι, ὅσα ἀπὸ παιδικῆς ἡλικίας ἐν πάσαις μου ταῖς αἰσθήσεσιν ἥμαρτόν Σοι, Πανοικτίρμον καὶ Πολυεύσπλαγχνε· συγχώρησον δέ μοι καὶ τὰ ἀρτίως ἐπιγενόμενά μοι πταίσματα ἐν τῷ τῆς προσευχῆς ταύτης καιρῷ, διὰ μετεωρισμοῦ καὶ πλάνης καὶ ῥεμβασμοῦ· διὰ λογισμῶν ὑψηλοφροσύνης καὶ κενοδοξίας· διὰ θυμοῦ, ὀργῆς καὶ μνησικακίας· διὰ τῆς ἀναιδοῦς καὶ μιαρᾶς βλασφημίας· δι' ὀλιγωρίας καὶ ὄκνου καὶ ῥαθυμίας· δι' αἰχμαλωσίας καὶ ἀπαγωγῆς τοῦ νοὸς καὶ τῆς διανοίας εἰς ἀτόπους καὶ πονηρὰς ἐπιθυμίας, ἵνα μὴ καυχήσηται σατὰν ὁ ἐχθρὸς κατ' ἐμοῦ, ὅτι οὐδὲ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἐξομολογήσεως καὶ προσευχῆς μου ἀναμάρτητος διετηρήθην· δεῖξον οὖν, Ὑπεράγαθε Κύριε, ὅτι Σὺ εἶ ὁ ἐξουσιάζων τοῦ Σοῦ πλάσματος καὶ Σοῦ ἐστι τὸ κράτος καὶ ἡ βασιλεία εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν!

(Προσευχητάριον, Α.Δ. Σιμωνώφ,
σελ. 285-286, ἔκδοσι γ΄, ἐν Βόλῳ 1964)

**Ὁ Ἐρανιστὴς**
***† ὁ Μητροπολίτης Κυπριανὸς***
19.6.2022 ἐκ. ἡμ.,
† Ἁγίου Ἀποστόλου Ἰούδα τοῦ Ἀδελφοθέου